λασις, ἐν τῷ μύθῳ μαθησόμεθα, ὅτι περίοδοί τινές εἰσιν, ἃς καλεῖ αἰῶνα καὶ ταύτας δεῖ ὑπομεῖναι καὶ οὕτως ἰατρευθῆναι.

p. 480 b. εἴπερ τὰ πρότερον.

6 ἀντὶ τοῦ εἰ αἱ προτάσεις ὡμολογήθησαν ἀληθεῖς εἶναι, πάντως ἕπονται ἀληθῆ συμπεράσματα.

p. 480 c. μύσαντας.

7 ὥσπερ οἱ ἀφερέπονοι μὲν δόντες δὲ ἑαυτοὺς διὰ τὸ ἰαθῆναι τοῖς ἰατροῖς μύουσι τοὺς ὀφθαλμούς, ἵνα μὴ ὁρῶσι, πῶς τέμνονται, οὕτως δεῖ καὶ τοὺς μέλλοντας τῶν παθῶν ἀπαλλάττεσθαι μύειν καὶ ἀνέχεσθαι.

p. 480 e. ἄτοπα μέν.

8 αἰσχύνεται τελείως ὁμολογῆσαι καί φησιν, ὅτι ἄτοπα μὲν λέγεις. ὅμως τοῖς προωμολογημένοις ἀκόλουθα ταῦτα· ὅρα τοίνυν νεῦρα ἀποδείξεως.

p. 480 e. ἐὰν μόνον μὴ αὐτός.

9 φησὶν ὅτι εἰ δέ ἐστί τις ἐχθρός σου, μὴ ἀδικῇ δέ σε, ἀλλὰ ἄλλον τινά, μὴ θελήσῃς αὐτὸν δοῦναι δίκην, ἀλλὰ καὶ βοήθησον αὐτῷ, εἰ δύνασαι, ἵνα ἔτι πλέον τιμωρηθῇ· τί οὖν ἀδικούμενος ἀδικείσθω, οὔ· πρῶτον μὲν γὰρ μᾶλλον ὁ ἐχθρὸς ὡς δέδεικται ἀθλιοῦται ἢ ὁ ἀδικούμενος, ἔπειτα δὲ δεῖ τῷ ἀδικουμένῳ λάθρᾳ λέγειν, ὅτι μὴ πείθου αὐτῷ. ἰστέον δέ, ὅτι θειότερόν τι αἰνίττεται· φησὶ γάρ, ὅτι εἴ σέ τις ἀδικεῖ ἀντὶ τοῦ τὴν ψυχήν σου εἰ λυπῇ πάθη, κατηγόρησον αὐτῶν καὶ ἔκκοψον αὐτά, εἰ δὲ ἄλλους τινὰς ἀδικεῖ ὁ ἀδικῶν, ἀντὶ εἰ τῶν ἐκτὸς χρημάτων ἤ τινος τοιούτου στερεῖ σέ τις, ῥᾷον φέρε, ὅπως μὴ ἀποθανεῖται, ἀθάνατος γὰρ μένων μᾶλλον τῇ κακίᾳ δολοῦται.

---

25 mg. ση. τί συμβαίνειν τῷ ἀδικοῦντί φησιν ἐκ τοῦ μὴ δίκην διδόναι

---

7 μύσαντας **M** μύσαντα codd. Plat. 27 ἀποθανεῖται ς, ἀποθανῆται **M**

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/128 UNIVERSITÄT LEIPZIG